e | rara

www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

**Homerus**

**[Basel], [1541]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Odysseias Ē

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

Ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα θαῦμα ἰδέσθαι,
Κίονι κεκλιμένη, δμωαὶ δέ οἱ εἵατ' ὄπισθεν
Ἔνθα δὲ πατρὸς ἐμεῖο θρόνος ποτικέκλιται αὐγῇ,
Τῷ ὅγε οἰνοποτάζει ἐφήμενος ἀθάνατος ὥς,
Τὸν παραμειψάμενος μητρὸς ποτὶ γούνασι χεῖρας
Βάλλειν ἡμετέρης, ἵνα νόστιμον ἦμαρ ἴδηαι
Χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί,
Εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ' ἐνὶ θυμῷ,
Ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
Οἶκον ἐϋκτίμενον, καὶ σὴν ἐς πατρίδα γαῖαν.
Ὣς ἄρα φωνήσασ', ἵμασεν μάστιγι φαεινῇ
Ἡμιόνους, αἱ δ' ὦκα λίπον ποταμοῖο ῥέεθρα,
Αἱ δ' εὖ μὲν τρώχων, εὖ δὲ πλίσσοντο πόδεσσιν,
Ἡ δὲ μάλ' ἡνιόχευεν, ὅπως ἅμ' ἑποίατο πεζοὶ
Ἀμφίπολοί τ' Ὀδυσεύς τε. νόῳ δ' ἐπέβαλλεν ἱμάσθλην.
Δύσετό τ' ἠέλιος, καὶ τοὶ κλυτὸν ἄλσος ἵκοντο
Ἱρὸν Ἀθηναίης ἵν' ἄρ' ἕζετο δῖος Ὀδυσσεύς,
Αὐτίκ' ἔπειτ' ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο.
Κλῦθί μοι αἰγιόχοιο Διὸς τέκος ἀτρυτώνη.
Νῦν δή πέρ μευ ἄκουσον, ἐπεὶ πάρος οὔ ποτ' ἄκουσας
Ῥαιομένου, ὅτε μ' ἔρραιε κλυτὸς Ἐννοσίγαιος.
Δός μ' ἐς Φαίηκας φίλον ἐλθεῖν, ἠδ' ἐλεεινόν,
Ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη.
Αὐτῷ δ' οὔπω φαίνετ' ἐναντίον, αἴδετο γάρ ῥα
Πατροκασίγνητον, ὁ δ' ἐπιζαφελῶς μενέαινεν
Ἀντιθέῳ Ὀδυσῆϊ, πάρος ἣν γαῖαν ἱκέσθαι.

κεκλιμένη.] ἐπαναπαυομένη.

ποτικέκλιται αὐγῇ.] προσέγκειται τῇ αὐγῇ, ἀντὶ τοῦ πεφώτισται. οἰνοποτάζει.] εὐωχεῖται. ἐφήμενος.] ἐπικαθήμενος. παραμειψάμενος.] παρελθών. μητρὸς ποτὶ γούνασι.] ἤτοι ὡς γυνὴ γυναῖκα προκρίνει, ἢ φρονιμωτάτη παραδίδοται καὶ ἄλλως ἐστὶ φιλοικτίρμον τὸ θῆλυ. φίλα φρονέῃσι.] φιλοφρονεῖν βούλοιτο. τρώχων.] ἔτρεχον. πλίσσοντο.] διέβαινον. πλέχος γὰρ τὸ ὑπὸ τὰ αἰδοῖα δέρμα, ὃ δῆτα διαβαινόντων. μάλα.] νῦν ἐπιστημόνως. ἑποίατο.] ἀκολουθήσειαν.

νόῳ δ' ἐπέβαλλεν ἱμάσθλην.] τεχνικῶς ἤλαυνεν. δύσετο τ' ἠέλιος.] νῦν πρὸς δυσμὰς ἀπέκλινεν, ἡμέρας γὰρ ἔτι οὔσης εἰσέρχεται Ὀδυσσεύς, παρὸ καὶ ἀχλὺν αὐτῷ καταχέει. ῥαιομένου.] φθειρομένου. ἔρραιε.] ἔφθειρεν. ἐλεεινόν.] ἐλέους τυχεῖν. Εννοσίγαιος.] ὁ Ποσειδῶν, ὁ τὴν γῆν κινῶν, ἔνωσις μὲν γὰρ ἡ κίνησις. ἐναντίον.] ἀπεναντίας ἐκ τοῦ φανεροῦ. αἴδετο πατροκασίγνητον.] τὸν τοῦ πατρὸς ἀδελφόν, τὸν θεῖον.



# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Η ΤΟΥ
## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ναυσικάα εἰς τὴν πόλιν ἀφικνεῖται, καὶ μετ' ὀλίγον Ὀδυσσεὺς ἱκετεύει τὴν Ἀρήτην Ἀλκινόου τοῦ βασιλέως γυναῖκα. καὶ μετὰ τὸ δεῖπνον πυθομένης ὁπόθεν τὴν ἐσθῆτα ἔσχεν, ἐγνώρισε γὰρ αὐτήν, τὰ συμβάντα αὐτῷ κατὰ τὸν πλοῦν, ἀπὸ τῆς Ὠγυγίας μέχρι τῆς τῶν Φαιάκων γῆς διηγεῖται.

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Η. ΤΟΥ Ομηρου ῥαψῳδίαν.

Ἀπειραίη.] ἄποθεν παροῦσα, ἢ ἠπειρωτική. ἔστι δὲ ἀντικρὺ τῆς Κορκύρας ἡ Ἤπειρος. ἀπήνης.] ἁμάξης. θαλαμηπόλος.] ἤτοι ἡ περὶ τὸν θάλαμον ἀναστρεφομένη, ἢ ἡ τοῦ οἴκου προνοοῦσα.

ἀπείρηθεν.] πόρρωθεν ἀπὸ τῆς ἠπείρου. ἐκόσμει.] παρασκεύαζεν. ἔξελον.] ἐξαίρετον ἔδωκαν. κερτομέοι.] χλευάζοι. δύσεσθαι.] εἰσελθεῖν.

ἠέρα.] νῦν τὴν ὁμίχλην. ἐρατεινήν.] ἐπέραστον, καλήν. παρθενικῇ νεήνιδι.] παρθένῳ νεωτέρᾳ. ἐϊκυῖα.] ὁμοία. κάλπιν.] ὑδρίαν. ἀνέρετο.] ἐπηρώτησεν. ταλαπείριος.] Ἀρίσταρχος μὲν ἀντὶ τοῦ ταλαίπορος. τινὲς δὲ ἀντὶ τοῦ ξένος, καὶ πόρρωθεν πεπορακώς. ἢ μακρόθεν ἀφιγμένος. ποτιόσσεο.] ἐνόρα. ἢ προσαγόρευε, ἢ περίβλεπε. οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται.] οὐ ξενίζουσι τοὺς ἀνθρώπους. πῶς οὖν ἐν τοῖς ἑξῆς φιλοξενωτάτους λέγει; ἢ τὸν μὲν ναυτικὸν ὄχλον τῷ ὄντι εἶναι ἀηδῆ, τοὺς βασιλεῖς φιλοξένους. ἢ ἴσως ἵνα φυλάξηται τινὸς πυθέσθαι, ἢ πρὸς ἕτερον καταχθῆναι. ἀγαπαζόμενοι.] φιλοφρονούμενοι. φιλέουσι.] φιλικῶς ὑποδέχονται ξενίζουσιν. πεποιθότες.] θαρροῦντες. ὠκεῖαι.] ταχεῖαι. ναυσικλυτοί.] οἱ περὶ τὴν θάλασσαν ἔνδοξοι. ἡγήσατο.] ἡγεμὼν τῆς ὁδοῦ ἐγένετο.

διὰ σφέας.]

# ΟΔΥΣΣΕΙΑΣ Η ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἦτα δ' εὖ φρονέουσ' Ὀδυσεῦ, σχερίης βασιλῆος.

Ὣς ὁ μὲν ἔνθ' ἠρᾶτο πολύτλας δῖος Ὀδυσεύς,
Κούρην δὲ προτὶ ἄστυ φέρεν μένος ἡμιόνοιιν.
Ἡ δ' ὅτε δὴ οὗ πατρὸς ἀγακλυτὰ δώμαθ' ἵκανεν,
Στῆσεν ἄρ' ἐν προθύροισι, κασίγνητοι δέ μιν ἀμφὶς
Ἵσταντ' ἀθανάτοις ἐναλίγκιοι, οἵ ῥ' ἀπ' ἀπήνης
Ἡμιόνους ἔλυον, ἐσθῆτά τε ἔσφερον εἴσω.
Αὐτὴ δ' ἐς θάλαμον ἑὸν ἤϊε, δαῖε δέ οἱ πῦρ
Γρηῢς ἀπειραίη θαλαμηπόλος Εὐρυμέδουσα.
Τήν ποτ' ἀπείρηθεν νέες ἤγαγον ἀμφιέλισσαι.
Ἀλκινόῳ δ' αὐτὴν γέρας ἔξελον, οὕνεκα πᾶσι
Φαιήκεσσιν ἄνασσε, θεοῦ δ' ὡς δῆμος ἄκουεν.
Ἣ τρέφε Ναυσικάαν λευκώλενον ἐν μεγάροισιν.
Ἥ οἱ πῦρ ἀνέκαιε, καὶ εἴσω δόρπον ἐκόσμει.
Καὶ τότ' Ὀδυσεὺς ὦρτο πόλιν δ' ἴμεν, ἀμφὶ δ' Ἀθήνη
Πολλὴν ἠέρα χεῦε φίλα φρονέουσ' Ὀδυσῆϊ,
Μή τις Φαιήκων μεγαθύμων ἀντιβολήσας,
Κερτομέοι τ' ἐπέεσσι, καὶ ἐξερέοιθ' ὅτις εἴη.
Ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλε πόλιν δύσεσθαι ἐραννήν,
Ἔνθά οἱ ἀντεβόλησε θεὰ γλαυκῶπις Ἀθήνη,
Παρθενικῇ ἐϊκυῖα νεήνιδι, κάλπιν ἐχούσῃ.
Στῆ δὲ πρόσθ' αὐτοῦ, ὁ δ' ἀνείρετο δῖος Ὀδυσεύς·
Ὦ τέκος, οὐκ ἄν μοι δόμον ἀνέρος ἡγήσαιο
Ἀλκινόου, ὃς τοῖσδε μετ' ἀνθρώποισιν ἀνάσσει;
Καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος ἐνθάδ' ἱκάνω.
Τηλόθεν ἐξ ἀπίης γαίης, τῷ οὔ τινα οἶδα
Ἀνθρώπων, οἳ τήνδε πόλιν καὶ γαῖαν ἔχουσι.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Τοιγὰρ ἐγώ τοι ξεῖνε πάτερ, δόμον ὅν με κελεύεις
Δείξω, ἐπεί μοι πατρὸς ἀμύμονος ἐγγύθι ναίει,
Ἀλλ' ἴθι σιγῇ τοῖον, ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω.
Μηδέ τιν' ἀνθρώπων προτιόσσεο, μηδ' ἐρέεινε.
Οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται.
Οὐδ' ἀγαπαζόμενοι φιλέουσ', ὅς κ' ἄλλοθεν ἔλθοι,
Νηυσὶ θοῇσι τοί γε πεποιθότες ὠκείῃσιν,
Λαῖτμα μέγ' ἐκπερόωσιν, ἐπεί σφισι δῶκε Κρονίων.
Τῶν νέες ὠκεῖαι, ὡσεὶ πτερὸν ἠὲ νόημα.
Ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη
Καρπαλίμως, ὁ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο.
Τὸν δ' ἄρα Φαίηκες ναυσικλυτοὶ οὐκ ἐνόησαν.

Ἐρχόμενον

Ἐρχόμενον κατὰ ἄστυ διὰ σφέας, οὐ γὰρ Ἀθήνη
Εἴα ἐϋπλόκαμος δεινὴ θεός, ἥ ῥά οἱ ἀχλὺν
Θεσπεσίην κατέχευε φίλα φρονέουσ' ἐνὶ θυμῷ.
Θαύμαζεν δ' Ὀδυσσεὺς λιμένας, καὶ νῆας ἐΐσας.
Αὐτῶν θ' ἡρώων ἀγορὰς καὶ τείχεα μακρὰ,
Ὑψηλὰ σκολόπεσσιν ἀρηρότα, θαῦμα ἰδέσθαι,
Ἀλλ' ὅτε δὴ βασιλῆος ἀγακλυτὰ δώματ' ἵκοντο.
Τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη.
Οὗτος δή τοι ξεῖνε πάτερ, δόμος ὅν με κελεύεις
Πεφραδέμεν, δήεις δὲ διοτρεφέας βασιλῆας
Δαίτην δαινυμένους, σὺ δ' ἔσω κίε μηδέ τι θυμῷ
Τάρβει, θαρσαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων
Ἔργοισι τελέθει, εἰ καί ποθεν ἄλλοθεν ἔλθοι.
Δέσποιναν μὲν πρῶτα κιχήσεαι ἐν μεγάροισιν,
Ἀρήτη δ' ὄνομ' ἐστὶν ἐπώνυμον, ἐκ δὲ τοκήων
Τῶν αὐτῶν, οἵ περ τέκον Ἀλκίνοον βασιλῆα,
Ναυσίθοον μὲν πρῶτα Ποσειδάων ἐνοσίχθων
Γείνατο, καὶ Περίβοια γυναικῶν εἶδος ἀρίστη,
Ὁπλοτάτη θυγάτηρ μεγαλήτορος Εὐρυμέδοντος,
Ὅς ποθ' ὑπερθύμοισι γιγάντεσσιν βασίλευεν,
Ἀλλ' ὁ μὲν ὤλεσε λαὸν ἀτάσθαλον, ὤλετο δ' αὐτός,
Τῇ δὲ Ποσειδάων ἐμίγη, καὶ ἐγείνατο παῖδα
Ναυσίθοον μεγάθυμον, ὃς ἐν Φαίηξιν ἄνασσεν,
Ναυσίθοος δ' ἔτεκε Ῥηξήνορά τ' Ἀλκίνοόν τε.
Τὸν μὲν ἄκουρον ἐόντα βάλ' ἀργυρότοξος Ἀπόλλων
Νυμφίον ἐν μεγάρῳ, μίαν οἴην παῖδα λιπόντα
Ἀρήτην, τὴν δ' Ἀλκίνοος ποιήσατ' ἄκοιτιν.
Καί μιν ἔτισ' ὡς οὔτις ἐπὶ χθονὶ τίεται ἄλλη,
Ὅσσαι νῦν γε γυναῖκες ὑπ' ἀνδράσιν οἶκον ἔχουσιν,
Ὣς κείνη περὶ κῆρι τετίμηταί τε καὶ ἔστιν,
Ἔκ τε φίλων παίδων, ἔκ τ' αὐτοῦ Ἀλκινόοιο
Καὶ λαῶν, οἵ μιν ῥα θεὸν ὣς εἰσορόωντες,
Δειδέχαται μύθοισιν ὅτε στείχῃσ' ἀνὰ ἄστυ,
Οὐ μὲν γάρ τι νόου γε καὶ αὐτὴ δεύεται ἐσθλοῦ,
Οἷσίν τ' εὖ φρονέῃσι, καὶ ἀνδράσι νείκεα λύει.
Εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ' ἐνὶ θυμῷ,
Ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
Οἶκον ἐς ὑψόροφον καὶ σὴν ἐς πατρίδα γαῖαν.
Ὣς ἄρα φωνήσασ', ἀπέβη γλαυκῶπις Ἀθήνη.
Πόντον ἐπ' ἀτρύγετον, λίπε δὲ Σχερίην ἐρατεινήν,
Ἵκετο δ' ἐς Μαραθῶνα, καὶ εὐρυάγυιαν Ἀθήνην,
Δῦνε δ' Ἐρεχθῆος πυκινὸν δόμον, αὐτὰρ Ὀδυσσεὺς
Ἀλκινόου πρὸς δώματ' ἴε κλυτά, πολλὰ δέ οἱ κῆρ
Ὥρμαιν' ἱσταμένῳ πρὶν χάλκεον οὐδὸν ἱκέσθαι.
Ὥς τε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης
Δῶμα καθ' ὑψερεφὲς μεγαλήτορος Ἀλκινόοιο.

διὰ σφέας.] δι' αὐτοὺς ἀντὶ τοῦ δι' αὐτῶν. δεινή.] φοβερά, δέους ἀξία. λαῖτμα.] οἱ μὲν ὅρμημα· οἱ δὲ τὸ κῦτος· οἱ δὲ τὸ διάστημα τοῦ πελάγους. δηλοῖ δὲ τὸ μέγα καὶ πλατύ, λέγει δὲ τὸ κῦμα. δήεις.] εὑρήσεις. ἀρηρότα.] συνησφαλισμένα. πεφραδέμεν.] ἐπιδεῖξαι.

κίε.] πορεύου. τάρβει.] φοβοῦ. κιχήσεαι.] νῦν ἀντὶ τοῦ ἐντεύξεις· οὐ γὰρ καταλήψεσθαι σημαίνει. ἀρήτη δ' ὄνομ' ἐστίν.] καθὸ ἀρητῶς καὶ εὐκταίως ἐγεννήθη. ἐπώνυμον.] φερώνυμον.

ὤλεσεν.] ἀπώλεσεν. τοκήων.] τῶν προγόνων. ἐγείνατο.] ἐγέννησεν.

Ῥηξήνορα.] ὄνομα κύριον. ἄκουρον.] ἄμοιρον ἄρρενος παιδός, ἢ μὴ γεννήσαντα παῖδα ἄρρενα. νυμφίον.] νεωστὶ γεγαμηκότα. τίεται.] τιμᾶται. λιπόντα.] καταλίποντα.

ὅσσαι.] ὁπόσαι. δειδέχαται.] δεξιοῦνται, ἀσπάζονται. στείχησι.] πορεύηται. δεύεται.] ἐνδεὴς ὑπάρχει. οἷσί τ' εὖ φρονέῃσι.] καὶ οἷς ἂν εὐφρονῇ ἡ ἀρήτη τὰ νείκη καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν διαλύει. Σχερίη.] ἡ τῶν Φαιάκων χώρα ἡ νῆσος καὶ ἡ Κέρκυρα τὸ πρότερον οὕτως ἐκαλεῖτο. Μαραθῶνα.] τόπον τῆς Ἀττικῆς. Ἀθήνην.] νῦν τὴν πόλιν, τὰς Ἀθήνας.

δῦνε.] κατέδυ εἰσῆλθεν. Ἐρεχθῆος πυκινὸν δόμον.] τὸ ἑαυτῆς τέμενος. ἐν τούτῳ γὰρ ἐτράφη Ἐρεχθεύς. ἐληλέδατο.] παρατεταμένοι. ἢ δὲ ἐρηρέδατο. ἡρμοσμένοι ἦσαν.

Χάλκεοι μὲν γὰρ τοῖχοι ἐρηρέδατ' ἔνθα καὶ ἔνθα,
Ἐς μυχὸν ἐξ οὐδοῦ, περὶ δὲ θριγκὸς κυάνοιο.
Χρύσειαι δὲ θύραι, πυκινὸν δόμον ἐντὸς ἔεργον.
Ἀργύρεοι δὲ σταθμοί, ἐν χαλκέῳ ἕστασαν οὐδῷ
Ἀργύρεον δ' ἐφ' ὑπερθύριον, χρυσέη δὲ κορώνη.
Χρύσειοι δ' ἑκάτερθε καὶ ἀργύρεοι κύνες ἦσαν,
Οὓς Ἥφαιστος ἔτευξεν ἰδυίῃσι πραπίδεσσι,
Δῶμα φυλασσέμεναι μεγαλήτορος Ἀλκινόοιο,
Ἀθανάτους ὄντας καὶ ἀγήρως ἤματα πάντα.
Ἐν δὲ θρόνοι περὶ τοῖχον ἐρηρέδατ' ἔνθα καὶ ἔνθα.
Ἐς μυχὸν ἐξ οὐδοῖο διαμπερές, ἔνθ' ἐνὶ πέπλοι
Λεπτοὶ εὔνητοι βεβλήατο ἔργα γυναικῶν.
Ἔνθα δὲ Φαιήκων ἡγήτορες ἑδριόωντο,
Πίνοντες καὶ ἔδοντες, ἐπηετανὸν γὰρ ἔχεσκον.
Χρύσειοι δ' ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν
Ἕστασαν, αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες,
Φαίνοντες νύκτας κατὰ δώματα δαιτυμόνεσσι.
Πεντήκοντα δέ οἱ δμῳαὶ κατὰ δῶμα γυναῖκες.
Αἱ μὲν ἀλετρεύουσι μύλης ἔπι, μήλοπα καρπόν.
Αἱ δ' ἱστοὺς ὑφόωσι καὶ ἠλακάτα στρωφῶσιν
Ἥμεναι, οἷά τε φύλλα μακεδνῆς αἰγείροιο.
Καιροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον,
Τόσσον Φαίηκες περὶ πάντων ἴδριες ἀνδρῶν
Νῆα θοὴν ἐνὶ πόντῳ ἐλαυνέμεν, ὣς δὲ γυναῖκες
Ἱστὸν τεχνῆσαι, περὶ γάρ σφισι δῶκεν Ἀθήνη
Ἔργα τ' ἐπίστασθαι περικαλλέα, καὶ φρένας ἐσθλάς
Ἔκτοσθεν δ' αὐλῆς μέγας ὄρχατος ἄγχι θυράων
Τετράγυος, περὶ δ' ἕρκος ἐλήλαται ἀμφοτέρωθεν,
Ἔνθα δὲ δένδρεα μακρὰ πεφύκει τηλεθόωντα,
Ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι,
Συκαῖ τε γλυκεραί, καὶ ἐλαῖαι τηλεθόωσαι.
Τάων, οὔποτε καρπὸς ἀπόλλυται, οὐδ' ἀπολείπει
Χείματος, οὐδὲ θέρευς ἐπετήσιος, ἀλλὰ μάλ' αἰεὶ
Ζεφυρίη πνείουσα, τὰ μὲν φύει, ἄλλα δὲ πέσσει,
Ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ,

Αὐτὰρ

ἐς μυχὸν ἐξ οὐδοῦ.] ἀπὸ τοῦ οὐδοῦ, ἕως τῆς ἔσω γωνίας. μυχόν.] τὸ ἐνδότατον τῆς οἰκίας. θριγκοῦ.] ὁ περίβολος τῆς οἰκίας, καὶ τὸ ἐπικόσμημα τοῦ τοίχου. ἔεργον.] ἀπεῖργον, ἐκώλυον, περιεῖχον. σταθμοί.] αἱ παραστάδες. κορώνη.] τὸ ἐπίσπαστρον τῆς θύρας, ἤτοι τὸ κρίκιον. ἑκάτερθεν.] ἑκατέρωθεν. ἰδυίῃσιν.] ἐμπείροις. πραπίδεσσι.] φρεσίν. ἐρηρέδατο.] ἐνηρμοσμένοι ἦσαν. χρύσειοι δ' ἑκάτερθεν καὶ ἀργύρεοι κύνες ἦσαν.] ἤτοι κυρίως ἢ ἥλους λέγει, παρ' ὃ καὶ κυνάδας φασί· ἢ τοὺς διπλοῦς ἥλους. τινὲς δὲ φασὶ τοὺς δοθέντας ὑπὸ Ἥρας Ποσειδῶνι ὑπὲρ τοῦ συλλαβεῖν αὐτῷ πρὸς τὴν τοῦ Διὸς ἐπίθεσιν, οὕτως περιελθεῖν εἰς Ἀλκίνοον. εὔνητοι.] εὐνενησμένοι. βεβλήατο.] ἐπέκειντο. χρύσειοι δ' ἄρα κοῦροι.] ἀνδριάντες τινές. ἐϋδμήτων.] καλῶς ᾠκοδομημένων.

ἐπὶ βωμῶν.] ἐπὶ τῶν βάσεων. ἕστασαν.] ἵσταντο. ἐπηετανόν.] ἀδιαλείπτως. δαινυμένους.] εὐωχουμένους. ἀλετρεύουσι.] ἀλοῦσιν. μύλης ἔπι.] ἐν τοῖς μύλοις, ἐπὶ τοῖς μύλοις. οἱ δὲ ὅτι τὸ ἔριον ἐπὶ τοῦ μηροῦ ἔστρεφον, μύλη γὰρ τὸ ἄκρον τοῦ μηροῦ. μήλοπα.] καρπόν.] τοὺς πυρούς, μηλοειδὴς γάρ ἐστι τὴν χροίαν. ὑφόωσιν.] ὑφαίνουσιν.

στρωφῶσιν.] στρέφουσιν, ἐργάζονται. ἥμεναι.] καθήμεναι. οἷά τε φύλλα μακεδνῆς αἰγείροιο.] οἱ μὲν ὅτι ἡλιοτροπίου τάξιν ἐπεῖχον καθήμεναι θεατροειδῶς, οἱ δὲ ὅτι πεπύκνωται τὸ δένδρον τοῖς φύλλοις. φύλλα δὲ ἤτοι διὰ τὸ πλῆθος, ἢ διὰ τὸ εὐκίνητον τῶν χειρῶν ἐν τῷ στρέφειν τὴν κρόκην, ὡς καὶ τὰ φύλλα τῆς αἰγείρου ἀντεστραμμένα ἀλλήλοις, καὶ εὐκίνητα ῥαδίως, καὶ ὑπὸ τυχούσης αὔρας. ὡς καὶ Σοφοκλῆς ἐναργῶς. ὥσπερ γὰρ εὐφύλλοισιν αἰγείρου μακρᾶς, κἂν ἄλλο μηδὲν, ἀλλὰ τοὐκείνης κάρα κινήσεις, αὔραις ἀνακουφίζει πτερόν. μακεδνῆς.] τῆς μακεδνῆς καὶ ὑψηλῆς, παρὰ τὸ μῆκος. καιροσέων.] εὐυφῶν, εὖ κεκαιρωμένων. καίρωμα δέ ἐστι τὸ διαπλεκόμενον ἐν τῷ στήμονι, παρὰ τὸν μίτον, ὑπὲρ τοῦ μὴ συγχεῖσθαι τοὺς στήμονας. ὅθεν ἀπὸ μέρους τοῦ μιτώματος, τοὺς ὅλους εὐυφεῖς λέγει.

ἀπολείβεται ὑγρὸν ἔλαιον.] ἤτοι οὕτως ἦσαν πυκναὶ ὡς μὴ δὲ ἔλαιον δι' αὐτῶν διελθεῖν. ἢ ἔξωθεν ὡς ἔλαιον ἔστιλβον διὰ τὴν λευκότητα ἢ ῥυπαραὶ ἦσαν, ὡς δοκεῖν ἔλαιον ἀπορρεῖν. ἢ οὕτως ἀποστίλβειν τὸν μίτον, ὡς δοκεῖν ἔλαιον ἀποβάλλειν. ἴδριες.] ἐπιστήμονες, ἔμπειροι. ὣς δὲ γυναῖκες.] νῦν τὸ ὡς ἀντὶ τοῦ τοσοῦτον. τεχνῆσσαι.] τεχνίτιδες. ὄρχατος.] ὁ ἐπὶ στίχον καὶ ἐντάξει τῶν ἀμπέλων φυτεία, ὄρχατος λέγεται, ἢ κῆπος. ἕρκος.] περίφραγμα, τειχίον. ἐλήλαται.] τετείχισται. ἀμφοτέρωθεν.] νῦν πανταχόθεν. τηλεθόωντα.] πάνυ θάλλοντα. τετράγυος.] τεσσάρων γυῶν. γύη δὲ μέτρον γῆς γεωργικόν. ὄγχναι.] ἄπιοι. ἀγλαόκαρποι.] λαμπρὸν καρπὸν φέρουσαι. τηλεθόωσαι.] θάλλουσαι, ἀκμάζουσαι. χείματος.] χειμῶνος. θέρευς.] θέρους. ἐπετήσιος.] ἑκάστου ἐνιαυτοῦ ἢ ἐφ' ὅλῳ τῷ ἔτει τοῦ ἐνιαυτοῦ. ζεφυρίη.] ἡ τοῦ ζεφύρου πνοή. πέσσει.] πεπαίνει, πέπειρα ποιεῖ. ὄγχνη.] ἄπιος.

Αὐτὰρ ἐπεὶ σταφυλῇ σταφυλὴ, συκὸν δ' ἐπὶ σύκῳ,
Ἔνθα δέ οἱ πολύκαρπος ἀλωὴ ἐρρίζωται,
Τῆς ἕτερον μὲν θειλόπεδον λευρῷ ἐνὶ χώρῳ
Τέρσεται ἠελίῳ, ἑτέρας δ' ἄρα τε τρυγόωσιν,
Ἄλλας δὲ τραπέουσι, πάροιθε δέ τ' ὄμφακές εἰσιν,
Ἄνθος ἀφιεῖσαι, ἕτεραι δ' ὑποπερκάζουσι,
Ἔνθα δὲ κοσμηταὶ πρασιαὶ παρὰ νείατον ὄρχον
Παντοῖαι πεφύασιν, ἐπηετανὸν γανόωσαι.
Ἐν δὲ δύω κρῆναι, ἡ μέν τ' ἀνὰ κῆπον ἅπαντα
Σκίδναται, ἡ δ' ἑτέρωθεν ὑπ' αὐλῆς οὐδὸν ἵησι
Πρὸς δόμον ὑψηλὸν, ὅθεν ὑδρεύοντο πολῖται.
Τοῖ' ἄρ' ἐν Ἀλκινόοιο θεῶν ἔσαν ἀγλαὰ δῶρα.
Ἔνθα στὰς θηεῖτο πολύτλας δῖος Ὀδυσσεύς.
Αὐτὰρ ἐπειδὴ πάντα ἑῷ θηήσατο θυμῷ,
Καρπαλίμως ὑπὲρ οὐδὸν ἐβήσατο δώματος εἴσω.
Εὗρε δὲ Φαιήκων ἡγήτορας ἠδὲ μέδοντας
Σπένδοντας δεπάεσσιν ἐϋσκόπῳ Ἀργειφόντῃ.
Ὧι πυμάτῳ σπένδεσκον ὅτε μνησαίατο κοίτου.
Αὐτὰρ ὁ βῆ διὰ δῶμα πολύτλας δῖος Ὀδυσσεὺς,
Πολλὴν ἠέρ' ἔχων, ἥν οἱ περίχευεν Ἀθήνη,
Ὄφρ' ἵκετ' Ἀρήτην τε καὶ Ἀλκίνοον βασιλῆα.
Ἀμφὶ δ' ἄρ' Ἀρήτης βάλε γούνασι χεῖρας Ὀδυσσεύς.
Καὶ τότε δή ῥ' αὐτοῖο πάλιν χύτο θέσφατος ἀήρ.
Οἱ δ' ἄνεῳ ἐγένοντο δόμον κάτα φῶτα ἰδόντες,
Θαύμαζον δ' ὁρόωντες, ὁ δ' ἐλλιτάνευεν Ὀδυσσεύς,
Ἀρήτη θύγατερ Ῥηξήνορος ἀντιθέοιο,
Σόν τε πόσιν, σά τε γούνατ' ἱκάνω πολλὰ μογήσας,
Τούς δέ τε δαιτυμόνας, τοῖσιν θεοὶ ὄλβια δοῖεν,
Ζωέμεναι, καὶ παισὶν ἐπιτρέψειαν ἕκαστα
Κτήματ' ἐνὶ μεγάροισιν γέρας θ' ὅτι δῆμος ἔδωκεν,
Αὐτὰρ ἐμοὶ πομπὴν ὀτρύνετε πατρίδ' ἱκέσθαι
Θᾶσσον, ἐπειδὴ δηθὰ φίλων ἄπο πήματα πάσχω.
Ὣς εἰπὼν κατ' ἄρ' ἕζετ' ἐπ' ἐσχάρῃ ἐν κονίῃσι
Πὰρ πυρί, οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
Ὀψὲ δὲ δὴ μετέειπε γέρων ἥρως Ἐχένηος,
Ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστερος ἦεν,
Καὶ μύθοισι κέκαστο, παλαιά τε πολλά τε εἰδώς,
Ὅ σφιν ἐῢ φρονέων ἀγορήσατο, καὶ μετέειπεν.
Ἀλκίνο', οὐ μέν τοι τόδε κάλλιον, οὐδὲ ἔοικε,
Ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ' ἐσχάρῃ ἐν κονίῃσιν,
Οἵδε δὲ σὸν μῦθον ποτιδέγμενοι ἰσχανόωνται,
Ἀλλ' ἄγε δὴ ξεῖνον μὲν ἐπὶ θρόνου ἀργυροήλου
Εἷσον ἀναστήσας· σὺ δὲ κηρύκεσσι κέλευσον,
Οἶνον ἐπικρῆσαι, ἵνα καὶ Διὶ τερπικεραύνῳ
Σπείσομεν, ὅς θ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
Δόρπον δὲ ξείνῳ ταμίη δότω ἔνδον ἐόντων,

Αὐτὰρ

ἐπί.] ἀλωή.] ἀμπελόφυτον γῆ. ἐρρίζωται.] πεφύτευται. θειλόπεδον.] ἔνθα εἵλη γίνεται βοτρύων καὶ ἡλιοῦνται καὶ ψύχονται, ἢ ὀψυντήρ. λευρῷ.] λείῳ, ὁμαλῷ, ἢ πλατεῖ. τέρσεται.] αὐτὶ τοῦ πεφύτευται. τραπέουσι.] πατοῦσιν. πάροιθε δέ τ' ὄμφακες εἰσί.] τὸ πλῆθος ἔμπροσθεν ἐστὶ τούτων ἐν ἑτέρῳ τόπῳ. διὸ πάλιν ἐπιφέρει ἕτεραι δ' ὑποπερκάζουσιν οὐχὶ ὅλας. ἄνθος ἀφιεῖσαι.] ἀπὸ ἄνθους εἰς ὄμφακας μεταβάλλουσαι. ὑποπερκάζουσι.] τῇ παρατάσει ἀκμάζουσι. οἷον ἐκ τοῦ ὄμφακος μεταβάλλουσιν εἰς τὸ μέλαν τῆς σταφυλῆς χρῶμα πεπαινόμεναι. πρασιαί.] αἱ λαχανεῖαι. ἢ αἱ τῶν φυτειῶν τε φάγανοι σχίσεις ὡς τὰ πλινθία. νείατον.] ἔσχατον. ὄρχον.] στίχον, ἄμπελον. πεφύασιν.] εἰσίν. ὑπάρχουσιν. γανόωσαι.] θάλλουσαι, λάμπουσαι. ἐπηετανὸν γανόωσαι.] διηνεκῶς λάμπουσαι. ἐϋσκόπῳ.] καλῶς σκοποῦντι. ἵησι.] ῥεῖ. ὑδρεύοντο.] ὕδωρ ἐλάμβανον. τοῖα.] τοιαῦτα. ᾧ πυμάτῳ.] ἐπεὶ ὀνειροπομπὸς, ἢ ὕπνου παρεκτικός. διὸ καὶ εἵλετο δὲ ῥάβδον τῇ τ' ἀνδρῶν ὄμματα θέλγει. θέσφατος.] θεῖος, θαυμαστός. ἄνεῳ.] ἥσυχοι. κοίτου.] κοίτης. ὄλβια δοῖεν ζωέμεναι.] ἐν εὐδαιμονίᾳ παράσχοιεν ζῆσαι. ἐπιτρέψειαν.] παραδοῖεν. ἀκὴν.] ἡσύχως. ὀτρύνετε.] ἐπείξατε, παρορμήσατε. κέκαστο.] παρευδοκίμει. ἐπ' ἐσχάρῃ.] παρὰ τῇ ἐσχάρᾳ. ἰσχανόωνται.] κατέχονται. εἷσον.] κάθισον. οἶνον ἐπικρῆσαι.] ἐπὶ τῷ ὄντι ἕτερον ἐπικεράσαι. ἱκέτῃσιν.] ἱκέταις. ὀπηδεῖ.] ἀκολουθεῖ. ταμίη.] ταμιοῦχος, φύλαξ.

ποικιλομήτιν.]

ποικιλομήτιν.] συνετὰ βουλευόμενον. αἰδοίοισιν.] αἰδοῦς ἀξίοις, τιμίοις. ὦρσαν.] ἀνέστησαν. ἀπ' ἐσχαρόφιν.] ἀπὸ τῆς ἐσχάτης. ἀγαπήνορα.] ὑπὸ ἀνδρῶν ἠγαπημένον. ἢ φιλάνθρωπον. ἢ τὸν ἀγαπῶντα ἀνδρίαν. νεῖμον.] μέρισον, διάδος. νώμησε.] διέδωκεν, ἐμέρισεν. ἐπαρξάμενος.] τὴν κατάρχην τῆς πόσεως ποιησάμενος. δαισάμενοι.] εὐωχηθέντες. κατακείετε.] καθευδήσατε, κατακοιμήθητε. ἰόντες.] ἀπελθόντες.

ἀνίης.] λύπης, ἀνίας. μεσσηγύς.] μεταξύ. αἶσα.] μοῖρα, εἱμαρμένη.

κατακλῶθές τε βαρεῖαι.] αἱ κατακλώθουσι καὶ καταμοιροῦσαι ἑκάστῳ τὸ εἱμαρμένον, βαρεῖαι. γεινομένῳ.] τικτομένῳ. νήσαντο.] ἐπένησαν ἐπεμοίραναν. ἐναργεῖς.] φανερόν.

ἔρδωμεν.] θύωμεν. δαίνυνται.] εὐωχοῦνται. ξύμβληται.] συντύχῃ.

ὁδίτης.] ὁδοιπόρος. εἰμέν.] ἐσμέν. ὥσπερ κύκλωπές τε καὶ ἄγρια φῦλα γιγάντων.] ὡς εἰσὶν ἀλλήλων ἐγγὺς κύκλωπές τε καὶ γίγαντες. ἤτοι κατὰ γένος. ἢ κατὰ τόπον. ἢ κατὰ ἀδικίαν. οὕτως καὶ ἡμεῖς θεοῖς πλησίον κατὰ δικαιοσύνην. ἔοικα.] ὅμοιος εἰμί. ὀχέοντας.] ὑποφέροντας. ἢ ἔχοντας καὶ βαστάζοντας.

ἰότητι.]

Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσ' ἱερὸν μένος Ἀλκινόοιο,
Χειρὸς ἑλὼν Ὀδυσῆα δαΐφρονα ποικιλομήτην,
Ὦρσεν ἀπ' ἐσχαρόφιν, καὶ ἐπὶ θρόνου εἷσε φαεινοῦ,
Υἱὸν ἀναστήσας ἀγαπήνορα Λαοδάμαντα,
Ὅς οἱ πλησίον ἷζε, μάλιστα δέ μιν φιλέεσκε,
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα,
Καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθαι, παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν,
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πόλλ' ἐπιθεῖσα χαριζομένη παρεόντων,
Αὐτὰρ ὁ πῖνε καὶ ἦσθε πολύτλας δῖος Ὀδυσσεύς.
Καὶ τότε κήρυκα προσέφη μένος Ἀλκινόοιο,
Ποντόνοε κρητῆρα κερασσάμενος μέθυ νεῖμον
Πᾶσιν ἀνὰ μέγαρον, ἵνα καὶ Διὶ τερπικεραύνῳ
Σπείσομεν, ὅς θ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
Ὣς φάτο, Ποντόνοος δὲ μελίφρονα οἶνον ἐκίρνα.
Νώμησεν δ' ἄρα πᾶσιν ἐπαρξάμενος δεπάεσσιν,
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ' ὅσον ἤθελε θυμός.
Τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπε.
Κέκλυτε Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Ὄφρα εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Νῦν μὲν δαισάμενοι κατακείετε οἴκαδ' ἰόντες,
Ἠῶθεν δὲ γέροντας ἐπὶ πλέονας καλέσαντες,
Ξεῖνον ἐνὶ μεγάροις ξεινίσσομεν, ἠδὲ θεοῖσι
Ῥέξομεν ἱερὰ καλά, ἔπειτα δὲ καὶ περὶ πομπῆς
Μνησόμεθ', ὥς χ' ὁ ξεῖνος ἄνευθε πόνου καὶ ἀνίης
Πομπῇ ὑφ' ἡμετέρῃ ἣν πατρίδα γαῖαν ἵκηται,
Χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐστί,
Μηδέ τι μεσσηγύς γε κακὸν καὶ πῆμα πάθῃσι
Πρίν γε τὸν ἧς γαίης ἐπιβήμεναι, ἔνθα δ' ἔπειτα
Πείσεται, ἅσσα οἱ αἶσα κατακλῶθές τε βαρεῖαι,
Γεινομένῳ νήσαντο λίνῳ, ὅτε μιν τέκε μήτηρ.
Εἰ δέ τις ἀθανάτων γε κατ' οὐρανοῦ εἰλήλουθεν
Ἄλλο τι δὴ τόδ' ἔπειτα θεοὶ περιμηχανόωνται,
Αἰεὶ γὰρ τὸ πάρος γε θεοὶ φαίνονται ἐναργεῖς
Ἡμῖν, εὖτ' ἔρδωμεν ἀγακλειτὰς ἑκατόμβας.
Δαίνυνταί τε παρ' ἄμμι καθήμενοι, ἔνθα περ ἡμεῖς.
Εἰ δ' ἄρα τις καὶ μοῦνος ἰὼν ξύμβληται ὁδίτης,
Οὔτι κατακρύπτουσιν, ἐπεὶ σφίσιν ἐγγύθεν εἰμέν,
Ὥσπερ κύκλωπές τε, καὶ ἄγρια φῦλα γιγάντων.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Ἀλκίνο' ἄλλο τί τοι μελέτω φρεσίν. οὐ γὰρ ἔγωγε
Ἀθανάτοισιν ἔοικα, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Οὐ δέμας οὐδὲ φυήν, ἀλλὰ θνητοῖσι βροτοῖσι,
Οὕς τινας ὑμεῖς ἴστε μάλιστ' ὀχέοντας ὀϊζὺν
Ἀνθρώπων, τοῖσίν κεν ἐν ἄλγεσιν ἰσωσαίμην.

καὶ δ'

Καὶ δ᾽ ἔτι κεν καὶ πλείον᾽ ἐγὼ κακὰ μυθησαίμην,
Ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα.
Ἀλλ᾽ ἐμὲ μὲν δορπῆσαι ἐάσατε κηδόμενόν περ.
Οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο
Ἔπλετο, ἥτ᾽ ἐκέλευσεν ἕο μνήσασθαι ἀνάγκη.
Καὶ μάλα τειρόμενον, καὶ ἐνὶ φρεσὶ πένθος ἔχοντα.
Ὡς καὶ ἐγὼ πένθος μὲν ἔχω φρεσίν, ἡ δὲ μάλ᾽ αἰεὶ
Ἐσθέμεναι κέλεται καὶ πινέμεν, ἐκ δέ με πάντων
Ληθάνει ὅσσ᾽ ἔπαθον, καὶ ἐνιπλήσασθαι ἀνώγει.
Ὑμεῖς δ᾽ ὀτρύνεσθε ἅμ᾽ ἠοῖ φαινομένηφι,
Ὥς κε με τὸν δύστηνον ἐμῆς ἐπιβήσετε πάτρης,
Καί περ πολλὰ παθόντα, ἰδόντα με, καὶ λίποι αἰὼν
Κτῆσιν ἐμήν, δμῶάς τε, καὶ ὑψερεφὲς μέγα δῶμα.
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἐπῄνεον, ἠδ᾽ ἐκέλευον,
Πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπεν.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ᾽ ἔπιόν θ᾽ ὅσον ἤθελε θυμὸς,
Οἱ μὲν κακκείοντες ἔβαν οἶκον δὲ ἕκαστος.
Αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεύς,
Πὰρ δέ οἱ Ἀρήτη τε καὶ Ἀλκίνοος θεοειδὴς
Ἧσθην, ἀμφίπολοι δ᾽ ἀπεκόσμεον ἔντεα δαιτός.
Τοῖσιν δ᾽ Ἀρήτη λευκώλενος ἤρχετο μύθων.
Ἔγνω γὰρ φᾶρός τε χιτῶνά τε, εἵματ᾽ ἰδοῦσα
Καλά, τά ῥ᾽ αὐτὴ τεῦξε σὺν ἀμφιπόλοισι γυναιξί·
Καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα.
Ξεῖνε, τὸ μὲν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή,
Τίς; πόθεν εἰς ἀνδρῶν; τίς τοι τάδε εἵματ᾽ ἔδωκεν,
Οὐ δὴ φῂς ἐπὶ πόντον ἀλώμενος ἐνθάδ᾽ ἱκέσθαι.
Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Ἀργαλέον βασίλεια διηνεκέως ἀγορεῦσαι,
Κήδε᾽, ἐπεί μοι πολλὰ δόσαν θεοὶ οὐρανίωνες.
Τοῦτο δέ τοι ἐρέω, ὅ μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷς,
Ὠγυγίη τις νῆσος ἀπόπροθεν εἰν ἁλὶ κεῖται.
Ἔνθα μὲν Ἄτλαντος θυγάτηρ δολόεσσα Καλυψὼ
Ναίει ἐϋπλόκαμος δεινὴ θεός, οὐδέ τις αὐτῇ
Μίσγεται, οὔτε θεῶν, οὔτε θνητῶν ἀνθρώπων.
Ἀλλ᾽ ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων
Οἶον, ἐπεί μοι νῆα θοὴν ἀργῆτι κεραυνῷ
Ζεὺς ἐλάσας ἐκέασε μέσῳ ἐνὶ οἴνοπι πόντῳ.
Ἔνθ᾽ ἄλλοι μὲν πάντες ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι.
Αὐτὰρ ἐγὼ τρόπιν ἀγκὰς ἑλὼν νεὸς ἀμφιελίσσης
Ἐννῆμαρ φερόμην, δεκάτῃ δέ με νυκτὶ μελαίνῃ,
Νῆσον ἐς Ὠγυγίην πέλασαν θεοί, ἔνθα Καλυψὼ
Ναίει ἐϋπλόκαμος δεινὴ θεός, ἥ με λαβοῦσα
Ἐνδυκέως ἐφίλει τε, καὶ ἔτρεφεν, ἠδὲ ἔφασκε,
Θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα.
Ἀλλ᾽ ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν.

ἔνθα μὲν

ἰότητι.] βουλήσει. κύντερον.] ἀναιδέστερον. ] χαλεπώτερον. δύστηνον.] δυστυχῆ. αἰών.] ὁ βίος. κακκείοντες.] κατακοιμηθησόμενοι. ἧσθην.] ἐκαθέζοντο. δορπῆσαι.] δειπνῆσαι. ἕο.] ἑαυτοῦ. μνήσασθαι.] μνημονεῦσαι. ληθάνει.] ἐπιλανθάνεσθαι ποιεῖ. ἐνιπλήσασθαι.] πληρῶσαι. ἀνώγει.] κελεύει. ὀτρύνεσθε.] ἐπείγεσθε. ἐπιβήσετε.] ἐπιβῆναι ποιήσεται. ἀπεκόσμεον.] ἀφῄρουν. ἔντεα δαιτός.] τὰ ὅπλα τῆς εὐωχίας. οἷον φιάλας, καὶ τὰ τοιαῦτα. εἰρήσομαι.] ἐρωτήσω. ἔγνω.] ἐπέγνω. τά ῥα.] ἃ δή. φῂς.] ἔφας. διηνεκέως.] νῦν ταχέως, ἢ τὸ σύμπαν. Ὠγυγίη.] ἡ Καλυψοῦς νῆσος. δολόεσσα.] δόλους μηχανᾶσθαι δυναμένη. ἐφέστιον.] ἐπὶ τὴν οἰκίαν αὐτῆς ἐπιξενωθησόμενον. ἐλάσας.] συνελάσας. ἐκέασε.] διέσχισε. ἀπέφθιθον.] ἀπεφθάρησαν. τρόπιν.] τὸ κατώτατον μέρος τῆς νεὸς περὶ ὃ σχίζεται τὸ κῦμα. ἢ τὸ μέσον τῆς νεὼς ξύλον. ἀγκὰς ἑλών.] ἐναγκαλισάμενος περιλαβών. ἐνδυκέως.] φιλοφρόνως. ἔφασκε.] ἀντὶ τοῦ ἔλεγε. ἐδόκησεν.]

ἐδεύεσκον.] ἔβρεχον. ἄμβροτα.] θεῖα. ἐπιπλόμενον.] συμπληρούμενον, ἐπιπορευόμενον. ἕσσεν.] ἐνέδυσεν. ἀπήμονα.] ἀβλαβῆ. ἐποτρύνουσα.] ἐπείγουσα. ἀγγελίης.] νεῶ κελεύσεως. λιαρόν.] ἡδύν. ξυνέσεσθαι ὀϊζυῖ.] συνεῖναι τῇ ταλαιπωρίᾳ.
ἐφορμήσας.] ἐπεγείρας. κατέδησεν.] ἐνεπόδισεν. ὤρινεν.] ἐτάραξεν. ἀθέσφατον.] πολλήν. ἁδινά.] ἀθρόως, οἰκτρά. σκέπας.] σκέπη. νηχόμενος.] κολυμβῶν. διέτμαγον.] διέτεμον. ἐπέλασσε.] ἐγγίσαι ἐποίησε. ἀτερπεῖ.] ἀηδεῖ, χαλεπῷ. νῆχον.] ἐνηχόμην, ἐκολύμβων. λεῖος.] ὁμαλός. θυμηγερέων.] λειποψυχῶν· ἢ συλλαμβάνων, καὶ συνάγων, καὶ ἀνακτώμενος τὴν ψυχήν.
διιπετέος.] τοῦ ὑπὸ τοῦ Διὸς ὄμβρων πληρουμένου ποταμοῦ. κατέδραθον.] κατεκοιμήθην. ἠφυσάμην.] περιεβαλόμην. ἀπείρονα.] πολύν. ἠφυσάμην.] κυρίως οὐ περιεβαλόμην, ἀλλ' ἐπήντλησα, καὶ ἐπέβαλον ἀθρόα, νῦν δὲ ἐπεχεάμην. τετιημένος.] λελυπημένος. ἀνῆκεν.] ἀφῆκεν. δέελον.] προσδήλην. τεῆς.] τῆς σῆς.
ἤμβροτεν.] ἥμαρτεν, ἀπέτυχεν.
ἔλποιο.] ἐλπίσειας. ῥέξεμεν.] πράξαι. ἀφραδέουσι.] μωραίνουσι.
ἅλις.] αὐταρκῶς. ἐναίσιμον.] καθῆκον. κατέλεξα.] ἕκαστα εἶπον.
ἀπαμείβετο.] ἀνταπεκρίνετο. ὅ ἐστιν διὰ ἀμοιβῆς προσεφθέγγετο. ἐς ἡμέτερον.] τουτέστιν εἰς τὸν ἡμέτερον οἶκον, ἀττικὸς δὲ ὁ σχηματισμός. ἀμύμονα.] μῶμον καὶ ψόγον οὐκ ἔχουσαν, ἀγαθήν. νείκει.] μέμφου.

ἐπισκύσαιτο.]

Ἔνθα μὲν ἑπτάετες μένον ἔμπεδον, εἵματα δ' αἰεὶ
Δάκρυσι δεύεσκον, τά μοι ἄμβροτα δῶκε Καλυψώ.
Ἀλλ' ὅτε δὴ ὄγδοόν μοι ἐπιπλόμενον ἔτος ἦλθε,
Καὶ τότε δή με κέλευσεν ἐποτρύνουσα νέεσθαι,
Ζηνὸς ὑπ' ἀγγελίης, ἢ καὶ νόος ἐτράπετ' αὐτῆς.
Πέμπε δ' ἐπὶ σχεδίης πολυδέσμου, πολλὰ δ' ἔδωκε
Σῖτον καὶ μέθυ ἡδύ, καὶ ἄμβροτα εἵματα ἕσσεν,
Οὖρον δὲ προέηκεν ἀπήμονά τε λιαρόν τε,
Ἑπτακαίδεκα μὲν πλέον ἤματα ποντοπορεύων,
Ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα,
Γαίης ὑμετέρης, γήθησε δέ μοι φίλον ἦτορ
Δυσμόρῳ, ἦ γὰρ ἔμελλον ἔτι ξυνέεσθαι ὀϊζυῖ
Πολλῇ, τήν μοι ἐπῶρσε Ποσειδάων ἐνοσίχθων,
Ὅς μοι ἐφορμήσας ἀνέμους κατέδησε κελεύθους,
Ὤρινεν δὲ θάλασσαν ἀθέσφατον, οὐδέ τι κῦμα,
Εἴα ἐπὶ σχεδίης ἁδινὰ στενάχοντα φέρεσθαι.
Τὴν μὲν ἔπειτα θύελλα διεσκέδασ', αὐτὰρ ἔγωγε
Νηχόμενος τόδε λαῖτμα διέτμαγον, ὄφρα με γαίῃ
Ὑμετέρῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ,
Ἔνθα κέ μ' ἐκβαίνοντα βιήσατο κῦμ' ἐπὶ χέρσου,
Πέτρῃς πρὸς μεγάλῃσι βαλὸν, καὶ ἀτερπέϊ χώρῳ,
Ἀλλ' ἀναχασσάμενος νῆχον πάλιν ἕως ἐπῆλθον
Ἐς ποταμὸν, τῇ δή μοι ἐείσατο χῶρος ἄριστος
Λεῖος πετράων, καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο.
Ἐκ δ' ἔπεσον θυμηγερέων, ἐπὶ δ' ἀμβροσίη νὺξ
Ἤλυθ', ἐγὼ δ' ἀπάνευθε διιπετέος ποταμοῖο
Ἐκβὰς ἐν θάμνοισι κατέδραθον, ἀμφὶ δὲ φύλλα
Ἠφυσάμην, ὕπνον δὲ θεὸς κατ' ἀπείρονα χεῦεν.
Ἔνθα μὲν ἐν φύλλοισι φίλον τετιημένος ἦτορ,
Εὗδον παννύχιος καὶ ἐπ' ἠῶ, καὶ μέσον ἦμαρ,
Δύσετό τ' ἠέλιος καί με γλυκὺς ὕπνος ἀνῆκεν,
Ἀμφιπόλους δ' ἐπὶ θινὶ τεῆς ἐνόησα θυγατρὸς
Παιζούσας, ἐν δ' αὐτὴ ἔην εἰκυῖα θεοῖσιν,
Τὴν ἱκέτευσ', ἡ δ' οὔτι νοήματος ἤμβροτεν ἐσθλοῦ,
Ὡς οὐκ ἂν ἔλποιο νεώτερον ἀντιάσαντα
Ἐρξέμεν, αἰεὶ γάρ τε νεώτεροι ἀφραδέουσιν,
Ἥ μοι σῖτον ἔδωκεν ἅλις ἠδ' αἴθοπα οἶνον,
Καὶ λοῦσ' ἐν ποταμῷ, καί μοι τάδε εἵματ' ἔδωκεν,
Ταῦτά τοι ἀχνύμενός περ ἀληθείην κατέλεξα.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε.
Ξεῖν' ἤτοι μὲν τοῦτό γ' ἐναίσιμον οὐκ ἐνόησε
Παῖς ἐμή, οὕνεκά σ' οὔτι μετ' ἀμφιπόλοισι γυναιξὶν
Ἦγεν ἐς ἡμέτερον, σὺ δ' ἄρα πρώτην ἱκέτευσας.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Ἥρως, μή μοι τοὔνεκ' ἀμύμονα νείκεε κούρην,
Ἡ μὲν γάρ μ' ἐκέλευσε σὺν ἀμφιπόλοισιν ἕπεσθαι,

Ἀλλ' ἐγὼ

Ἀλλ' ἐγὼ οὐκ ἔθελον δείσας, αἰσχυνομένος τε
Μή πως καὶ σοὶ θυμὸς ἐπισκύσσαιτο ἰδόντι,
Δύσζηλοι γάρ τ' εἰμὲν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε.
Ξεῖν', οὔ μοι τοιοῦτον ἐνὶ στήθεσσι φίλον κῆρ
Μαψιδίως κεχολῶσθαι, ἀμείνω δ' αἴσιμα πάντα
Αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
Τοῖος ἐών, οἷος ἐσσί, τά τε φρονέων ἅ τ' ἐγώ περ,
Παῖδά τ' ἐμὴν ἐχέμεν, καὶ ἐμὸς γαμβρὸς καλέεσθαι
Αὖθι μένων, οἶκον δέ κ' ἐγὼ καὶ κτήματα δοίην,
Εἴ κ' ἐθέλων γε μένοις, ἀέκοντα δέ σ' οὔτις ἐρύξει
Φαιήκων, μὴ δ' οὕτω φίλον Διῒ πατρὶ γένοιτο.
Πομπὴν δ' ἐς τόδ' ἐγὼ τεκμαίρομαι, ὄφρ' εὖ εἰδῇς
Αὔριον, ἐς τῆμος δὲ σὺ μὲν δεδμημένος ὕπνῳ
Λέξεαι, οἱ δ' ἐλόωσι γαλήνην ὄφρ' ἂν ἵκηαι
Πατρίδα σὴν καὶ δῶμα καὶ εἴ που τι φίλον ἐστίν.
Εἴ περ καὶ μάλα πολλὸν ἑκαστέρω ἔστ' Εὐβοίης,
Τὴν γὰρ τηλοτάτω φάσ' ἔμμεναι, οἵ μιν ἴδοντο
Λαῶν ἡμετέρων, ὅτε τε ξανθὸν Ῥαδάμανθυν
Ἦγον, ἐποψόμενον Τιτυὸν γαιήϊον υἱόν.
Καὶ μὲν οἱ ἔνθ' ἦλθον καὶ ἄτερ καμάτοιο τέλεσσαν
Ἤματι τῷ αὐτῷ, καὶ ἀπήγαγον οἴκαδ' ὀπίσσω.
Εἰδήσεις δὲ καὶ αὐτὸς ἐνὶ φρεσὶν ὅσσον ἄρισται
Νῆες ἐμαί, καὶ κοῦροι ἀναρρίπτειν ἅλα πηδῷ.
Ὣς φάτο, γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς.
Εὐχόμενος δ' ἄρα εἶπεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε.
Ζεῦ πάτερ αἴθ' ὅσα εἶπε τελευτήσειεν ἅπαντα
Ἀλκίνοος, τοῦ μέν κεν ἐπὶ ζείδωρον ἄρουραν
Ἄσβεστον κλέος εἴη, ἐγὼ δέ κε πατρίδ' ἱκοίμην.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Κέκλετο δ' Ἀρήτη λευκώλενος ἀμφιπόλοισιν
Δέμνι' ὑπ' αἰθούσῃ θέμεναι καὶ ῥήγεα καλὰ
Πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
Χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἕσασθαι.
Αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι.
Αὐτὰρ ἐπεὶ στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι,
Ὤτρυνον Ὀδυσῆα παριστάμεναι ἐπέεσσιν.
Ὄρσο κέων ὦ ξεῖνε, πεποίηται δέ τοι εὐνή.
Ὣς φάν, τῷ δ' ἀσπαστὸν ἐείσατο κοιμηθῆναι.
Ὣς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσσεύς
Τρητοῖσ' ἐν λεχέεσσιν, ὑπ' αἰθούσῃ ἐριδούπῳ.
Ἀλκίνοος δ' ἄρα λέκτο μυχῷ δόμου ὑψηλοῖο.
Πὰρ δὲ γυνὴ δέσποινα λέχος πόρσυνε καὶ εὐνήν.



ἐπισκύσσαιτο.] ὀργισθείη. δύσζηλοι.] κακόζηλοι, φθονεροί. ἀμείνω δ' αἴσιμα πάντα.] τὰ καθήκοντα πάντα καλά ἐστιν. παῖδά τ' ἐμὴν ἐχέμεν.] ταῦτα λέγει πειρώμενος τοῦ Ὀδυσσέως, εἰ ταῖς ἀληθείαις παραιτεῖται τοῦ γάμου. εἰ γὰρ προπετῶς ὑπόσχηται γαμήσειν, πάντως ἐλεγχθήσεται κἀκεῖνο ψευδόμενος. ἐχέμεν.] γαμῆσαι.

δοίην.] παράσχοιμι. τεκμαίρομαι.] τελειῶ. τῆμος.] τηνικαῦτα.

δεδμημένος.] δαμασθείς, ὑποταχθείς, ἢ δεδαμασμένος. λέξεαι.] κοιμηθήσῃ. ἐλόωσιν.] ἐλάσωσιν. γαλήνην.] γαληναίως, ἡσύχως. εἴπου τι φίλον ἐστίν.] ὅπου ἄν σοι προσφιλές ἐστιν. ἑκαστέρω.] πορρωτέρω. τηλοτάτω.] πορρωτάτω. γαιήϊον.] τῆς γῆς υἱόν. ἐποψόμενον.] θεασόμενον.

Τιτυὸν γαιήϊον υἱόν.] τὸν τῆς γῆς υἱόν, κτητικὸς ὁ τρόπος. Ἐλάρα, ἡ τοῦ Ὀρχομενοῦ, τινὲς Μινύου, συνελθὼν Ζεύς, διὰ τὴν τῆς Ἥρας ζηλοτυπίαν ἔκρυψεν αὐτὴν κατὰ γῆς. ἡ δὲ αὐτῇ ἔτεκε παῖδα ἐξοχώτατον. ὃς ὠνομάσθη Τιτυός, ὃς ἠράσθη Λητοῦς καὶ ἐτοξεύθη ὑπὸ Ἀπόλλωνος. ἧκε δ' ὁ Ῥαδάμανθυς ἐπὶ θέαν τοῦ Τιτυοῦ, ἢ δίκαιος ὤν, σωφρονίσων αὐτόν. φαίνονται δὲ οἱ Φαίακες πλησίον τῶν μακάρων νήσων κατοικοῦντες. ἤματι τῷ.] τῇ αὐτῇ ἡμέρᾳ. εἰδήσεις.] γνώσῃ, μαθήσῃ. ἄρισται.] κάλλισται. ἀναρρίπτειν.] κωπηλατεῖν. ἀναρρίπτεται γὰρ τὸ ὕδωρ ὑπὸ τῶν κωπηλατούντων. πηδῷ.] νῦν οὐ πηδαλίῳ. οὐ γὰρ ἔχουσι πηδάλια, ἀλλὰ κώπαις παρὰ τὸ πλήσσειν τὴν θάλασσαν. πηδὸς γὰρ εἶδος ξύλου, ἢ τὸ πλατὺ τῆς κώπης. δέμνια.] στρώματα. αἰθούσῃ.] στοᾷ. ῥήγεα.] βαπτὰ περιστρώματα. οὔλας.] ἁπαλάς. δάος.] φῶς, λαμπάδα.

τελευτήσειεν.] εἰς τέλος ἄξειεν, πληρώσειεν. ἐγκονέουσαι.] σπεύδουσαι, ἐνεργοῦσαι ἐπιμελῶς. κέων.] κοιμηθησόμενος. ἀσπαστόν.] ἀσπαστῶς, ἡδέως. λέκτο.] ἐκοιμᾶτο. μυχῷ.] τῷ ἐσωτάτῳ.